33 Vtrum per æſtatem potiùs, an per hye-
mem ſudor mouendus ſit? An hyeme ca-
lor intus ſe contrahens concoquit, exte-
nuátque in ſpiritum humores interiores:
quòd cùm omnes, aut certè maxima pars,
conſumantur, nullam ſui excretionem
admonent faciendam. At in æſtate, cùm
per raram, ſolutámque carnem calor eua-
dat, humores minus concoqui poſſunt in-
teſtini. Qua de cauſa exhauriendum o-
mnino eſt: quoniam ſi permanſerint, tem-
poris eius qualitate putreſcent, morbóſ-
que contrahent. Putreſcit enim quod-
que externo calore: nam vt ſuo quodque
calore concoquitur, ſic externo putreſcit.
Igitur per æſtatem externus præualet ca-
lor: ex quo fit, vt quæuis in æſtate putre-
dinem ſentiant. Per hyemem verò, quia
calor ſuus ille, ac domeſticus dominatur,
hinc tempus hoc minimè creare putredi-
nem poteſt. 34 Quam ob cauſam cùm
ſudor calore, vel interno, vel externo fie-
ri ſoleat, euenit vt horror nonnullis ſu-
doribus poſſit excitari? An quoniam ſu-
dor, qui ex calore prodit interno, ſe ſcili-
cet de loco amplo in breuem (corporis
dico ambitum) contrahente primùm ca-
loris meatus, & circuitum patefacit: deinde
horror carne iam madefacta ex toto, calo-
réque exeunte citatur. Calor autem, qui
extrinſecus mouet, primùm ſumma corpo-
ris aperit, rarefacítque: tum calor naturæ
internus profluens excitare horrorem po-
teſt. 35 Cur calidi ſudores frigidis me-
liores habentur? An quòd omnis ſudor
excrementi cuiuſdam ſecretio eſt. Parũ au-
tem excrementi amplius incaleſcere con-
ſentaneum eſt: plus autem non æquè,
ſed minus. Itaque ſudor frigidus excre-
menti multi indicium eſſe poteſt: quocir-
ca morbos quoque is facit longiores.
36 Cur minus ad ignem multum ſuda-
mus, cùm tamen præ calore ſudor omnis
moueri ſoleat? An quoniam humor, aut
corpore vehementer calente in ſpiritum
diſſoluitur humidum, aut cùm prouene-
rit, adeò citò calore nimio exiccatur, vt
ſenſus ſudoris multi eripi poſſit. 37 Cur
ad Solem acriùs calefacientem corpora
quæ nullo indumento teguntur, nihil pe-
nè ſudant: quæ autem ſatis veſte intecta
ſunt, copioſiſſimè ſudant? Eandem de hoc
etiam, quam de ſuperiori, cauſam redden-
dam cẽſemus. 38 Quam ob cauſam, cùm
motus acuti magis, hebetes minus calefa-
cere poſſe videantur, ingreſſus tamen per
accliuia, qui hebetiores ſunt, magis mo-
uent ſudorem, proſiſtúntque ſpiritum,

A λγ Πότερον δεῖ μᾶλλον τοῦ θέρους παρα-
σκευάζειν τὸ ἱδροῦν, ἢ τοῦ χειμῶνος; ἢ τοῦ
μὲν χειμῶνος συστελλόμενον ἐντὸς τὸ θερμὸν,
ἐκπέττει καὶ πνευματοῖ τὰ ἐν ἡμῖν ὑγρά;
διὸ πάντων αὐτῶν, ἢ τῶν πλείστων ἀναλι-
σκομένων, οὐδὲν δεῖται συγχύσεως ἀποκρί-
σεως. τοῦ δὲ θέρους δι' ἀραιὰς τῆς σαρκὸς ἐκ-
πίπτοντος τοῦ θερμοῦ, ἧττον πέττεται τὰ ἐν ἡ-
B μῖν ὑγρά· διὸ δεῖται ἀπαντλήσεως. ἐμμεί-
ναντα γὰρ διὰ τὴν ὥραν, σήπεται καὶ νοσο-
ποιεῖ. σήπεται γὰρ πᾶν τὸ σηπόμενον, ὑπ' ἀλ-
λοτρίου θερμοῦ, ὑπὸ δὲ τοῦ οἰκείου πέττεται.
ἐν μὲν οὖν τῷ θέρει τὸ ἀλλότριον ἰσχύει· διὸ
σήπεται [πάντα] μᾶλλον ἐν αὐτῷ· ἐν δὲ τῷ
χειμῶνι, τὸ οἰκεῖον· διὸ οὐ σήπει ὁ χειμών.
λδ Διὰ τί τῶν ἱδρώτων γινομένων ὑπὸ τῆς
ἐντὸς θερμασίας, ἢ ὑπὸ τῆς ἐκτὸς προσπι-
C πτούσης. πρὸς ἐνίων ἱδρώτων φρίττομεν; ἢ
διότι ὑπὸ μὲν τῆς ἐντὸς θερμασίας ὅταν ἐκ-
πίπτωσιν ἐκ πολλοῦ τόπου εἰς ὀλίγον, συστελ-
λομένοις πρὸς τὴν περιοχὴν παντελῶς τοῦ
θερμοῦ περιόδοις ἀποφράττουσιν, εἶτα ἡ φρί-
κη ἐγγίνεται; ἔτι τῆς σαρκὸς παντελῶς δια-
βρόχου γινομένης, καὶ τοῦ θερμοῦ ἐξιόντος. ἡ
δὲ ἐκτὸς θερμασία προσπίπτουσα, ἀραιοῖ
D τὸν χρῶτα πρῶτον· εἶτα τὸ ἐντὸς τῆς φύσεως
θερμὸν ἀποκρινάμενον, τὴν φρίκην ἐποίη-
σεν. λε Διὰ τί τῶν ἱδρώτων οἱ θερμοὶ
κρίνονται βελτίους εἶναι τῶν ψυχρῶν; ἢ ὅτι πᾶς
μὲν ἱδρὼς, περιττώματός τινος ἔκκρισίς ἐστιν;
εἰκὸς δὲ τὸ μὲν ὀλίγον περίττωμα ἐκθερμαί-
νεσθαι, τὸ δὲ πλεῖον, μὴ ὁμοίως. ὥστε ὁ ψυ-
χρὸς ἱδρὼς, πολλοῦ περιττώματος ἂν εἴη
E σημεῖον. διὸ καὶ μακροτέρας τὰς νόσους ποιεῖ.
λς Διὰ τί τῶν ἱδρώτων διαθερμασίᾳ γι-
νομένων, πρὸς τὸ πολὺ πῦρ ἧττον ἱδροῦμεν;
ἢ διότι ἤτοι σφόδρα θερμαινομένου τοῦ σώ-
ματος, εἰς πνεύματα ὑγρὰ διαλύεται, ἢ ἐκ-
πίπτοντος τοῦ ὑγροῦ καὶ ταχὺ ξηραινομένου,
τὴν αἴσθησιν οὐ λαμβάνομεν; λζ Διὰ τί
τοῦ ἡλίου μᾶλλον θερμαίνοντος, ἐὰν μηδὲν
περίβλημα ἔχωμεν, ἱδρῶτες γίνονται τοῖς
F ἱματίοις περιεσταλμένοις; καὶ περὶ τούτου
ταὐτὰ ἐροῦμεν τῷ προτέρῳ. λη Διὰ τί τῶν
ὀξειῶν κινήσεων μᾶλλον θερμαίνειν δοκου-
σῶν, τῶν δὲ νωθρῶν ἧττον, αἱ πρὸς τὰ σιμὸν
πορεῖαι νωθρότεραι οὖσαι, ἱδρῶτάς τε μᾶλ-
λον ἐκκρίνουσι, καὶ τὸ πνεῦμα περιϊσῶσιν,
ὡς θερ-